SUB | NIEDERSÄCHSISCHE STAATS- UND UNIVERSITÄTSBIBLIOTHEK GÖTTINGEN

## Werk

**Titel:** Maximu tu Marguniu Episcopu Kuth¯er¯on Hymnoi Anakreonteioi

**Autor:** Margunius, Maximus

**Verlag:** Praetorius

**Ort:** Augustae

**Jahr:** 1601

**Kollektion:** DigiWunschbuch; Varia

**Werk Id:** PPN660732017

**PURL:** http://resolver.sub.uni-goettingen.de/purl?PID=PPN660732017|LOG_0004

**OPAC:** http://opac.sub.uni-goettingen.de/DB=1/PPN?PPN=660732017

## Terms and Conditions

The Goettingen State and University Library provides access to digitized documents strictly for noncommercial educational, research and private purposes and makes no warranty with regard to their use for other purposes. Some of our collections are protected by copyright. Publication and/or broadcast in any form (including electronic) requires prior written permission from the Goettingen State- and University Library.
Each copy of any part of this document must contain there Terms and Conditions. With the usage of the library's online system to access or download a digitized document you accept the Terms and Conditions.
Reproductions of material on the web site may not be made for or donated to other repositories, nor may be further reproduced without written permission from the Goettingen State- and University Library.

For reproduction requests and permissions, please contact us. If citing materials, please give proper attribution of the source.

## Contact

Niedersächsische Staats- und Universitätsbibliothek Göttingen
Georg-August-Universität Göttingen
Platz der Göttinger Sieben 1
37073 Göttingen
Germany
Email: gdz@sub.uni-goettingen.de

# ΜΑΞΙΜΟΣ Ο ΜΑΡΓΟΥΝΙΟΣ, ΤΑΠΕΙΝΟΣ ΚΥΘήρων ἐπίσκοπος, Κορράδῳ τῷ Ριττερσουσίῳ, σοφωτάτῳ ἀνδρὶ, εὖ πράττειν.

Καὶ τὸ περὶ ἐμέ σου οὐκ ἀγεννὲς, καί μοι τὰ μέγιστα κεχαρισμένον φίλτρον, σοφώτατε Ριττερσούσιε, καὶ τὸ κόσμιόν σου τῶν ἠθῶν, καὶ δὴ καὶ τὸ περὶ τὰ καλὰ τῶν μαθημάτων γενναῖον, ἐκ τῆς γενομένης σοὶ προσφωνητικῆς ἐπιστολῆς τῶν ἡμετέρων Ἀνακρεοντείων ὕμνων πρὸς τὸν κοινὸν νῷν φίλον τὸν σοφώτατον Ἑσχέλιον, καὶ μάλιστα ἐξ ὄνυχος φασὶν ἐπέγνων τὸν λέοντα. ἀνθ' ὧν οὔτοιγε σμικρολόγως, οὐδὲ μὴν γλίσχρως ἀντεξιστοῦν τὰ παρ' ἐμοῦ τοῖς σοῖς, ὅσα γε εἰς χάριν ἀγάπης ἀνήκει εἰλικρινοῦς, εὖ ἴσθι διεγερθήσομαι, εἰ μόνον αὐτὸς εἴης, κἂν τούτῳ χαριζόμενος, ὁ τὰς ἀφορμάς μοι παρέχων τῆς τοιαύτης ὁρμῆς καὶ τοῖς ἔξωθεν ἐπιτάγμασι. χαίρω γὰρ ἐγὼ οὐδὲν ἧττον ἀνταγαπώμενος παρὰ τοιούτων σοφῶν ἀνδρῶν,

ἢ τὰ δῶματα περιστατιόμενος. Περὶ δὲ τῶν συντεθειμένων ἡμῖν ὡς ἐν παρέργῳ ἀνακρεοντείων ἀκριβοῦς εἰς τὴν τῶν Λατίνων μεταφράσεως, τοῦτο καὶ μόνον ἐρῶ, ὅτι μεῖζον ἐναπέθηκέ μου τῇ ψυχῇ τὸ τοῦ περί σε ἔρωτος κέντρον, ἅτε δὴ εἰκὸς τεθηπότος πάνυ τὰ σά. οὕτω παρομαρτεῖς κατ' ἴχνος τοῖς οἷς ἐγὼ ἐν ἐκείνοις διανενόημαι, καὶ τοιαύτη τῶν λέξεων εὐφραδία ἅμα καὶ οἰκειότητι, ὡς μικροῦ κινδυνεύειν δόξαι τισί, μὴ μετάφρασιν, ἀλλ' αὐτουργίαν τινά, ἵν' οὕτως ἔπω, γενέσθαι τὰ σά. Ταυτά σοι παρ' ἡμῶν βραχέα τε καὶ αὐτοσχέδια, οἷα δὴ προοίμι' ἄττα τῆς περί σε ἡμετέρας στοργῆς, πλείοσι καὶ αντλουμένων τόγε νῦν εἶναι φροντίσιν· ἐπὶ σχολῆς δὲ, καὶ τοῦτο σὺν θεῷ, μετ' οὐ πολὺ καὶ μακρότερα. σὺ δ' ἐν τῷ μεταξὺ ἑκάτερόν μοι ὑγιαίνοις τὸν ἄνθρωπον, καὶ φιλοίης ἀντιφιλοῦντά σε ταμέγιστα. Ενετίηθεν, α, χ' ἔτει τῆς ἐνσάρκου οἰκονομίας, Μαρτίου ε' ἱσταμένου;

Τοῦ

## Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἄλλη ἐπιστολή.

Πολύ μοι τοῦ πρός σε φίλτρου τὸ αἴτιον ἐγγίνεται, Κόῤῥαδε λογιώτατε καὶ σοφώτατε, καὶ ὅτι σοφοῦ ἀνδρὸς φθάνομαι προτροπῇ, καὶ ὅτι φιλέλληνος, καὶ ὅτι (οὐδὲν γὰρ κωλύει τοῖς σοῖς χρήσασθαι ῥήμασι) φιλομαργουνίου, ὥστε με παρὰ πάντα ἀπηρτῆσθαί σου τῆς ψυχῆς, καὶ σφοδρὸν ἀνάπτειν τὸν ἔρωτα, καὶ δυσαποσπάστως ἔχειν σου τῆς τε μνήμης, καὶ τῆς περὶ ἐμὲ τηλικαύτης εὐνοίας. κἂν ἀνεπτερώθην πολλάκις πρὸς σὲ, ἐξ οὗ τὰ χρυσᾶ σου ἀνὰ χεῖρας ἔλαβον γράμματα, κἂν ἐξεβιασάμην καὶ τὴν φύσιν αὐτὴν, καίτοιγε τοῦτ᾽ αὐτὸ ἀργήν τε οὖσαν, καὶ πρὸς πᾶν ὅ,τι χρηστὸν ψυχρὰν ὅτι μάλιστα, εἰ μὴ ἔνθεν κἀκεῖθεν ἐπάλληλοί τε φροντίδες, καὶ νόσοι ἀπροσδόκητοι περιήντλουν μου τὴν ψυχήν. ἀλλὰ γὰρ ἵνα μὴ πάντῃ ἀχαριστίαν ὀφλήσω, ἰδού σοι τὰ μικρὰ ταῦτα καὶ ἀκαλλῆ, αὐτοσχέδια πέμψαι προῄρημαι, ὥσπερ ἀπαρχάς τινας τῆς μεταξὺ νῷν συνϊσταμένης φιλίας, ἧς ἐγὼ τὸν σοφώτατον, κἀμοὶ ἐν τοῖς μάλιστα αἰδέσιμον Εσχέλιον παραίτιον τίθεμαι· προσειρήσθον δὴ καὶ ἄμφω παρ᾽ ἐμοῦ· κἀκεῖνος μὲν ἀντὶ τῆς τηλικαύτης χάριτος τάς οἱ προσηκούσας ἀποίσεται ἀντεκτίσεις ἐκ τῶν ἐνόντων ἡμῖν· σὺ δὲ μὴ κατοκνοίης καὶ ἐπιστέλλειν ἡμῖν.

ἡμῖν, καὶ προστάττειν τὰ πρὸς τῆς ἡμετέρας δυνάμεως. καὶ γὰρ ἑξῆς παρ' ἡμῶν, εἰ καὶ μὴ τὰ τῇ σῇ ἐποφειλόμενα μεγαλοπρεπείᾳ, καὶ εἰλικρινεῖ περὶ ἡμᾶς εὐνοίᾳ, τὰ γοῦν ἡμῖν δυνατά. πετῶντι γράφω καλάμῳ· μετ' οὐ πολὺ δὲ εὐκαιροτέρας λαβόμενος ἀφορμῆς, καὶ μακροτέροις τοῖς πρὸς σὲ χρήσομαι γράμμασιν. ἐν δὲ τῷ μεταξὺ ἑκάτερον τὸν ἄνθρωπον ὑγιαίνοις μοι, καὶ τὼ σοφωτάτω Μάρκον τε Βέλσερον καὶ τὸν ἡμέτερον Εσχέλιον ὡς παρ' ἐμοῦ πρόσειπε. Ενετίησιν, αὐγούστου α' φθίνοντος κατὰ τὸ αφ ϟ θ' ἔτος σωτήριον.

IN